www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΩΝ ΕΝ ΜΕΓΑΡΟΙΣ ΤΕΣΣΑΡΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ

**Φεβρουαρίου α'**

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ

*Μετά τόν Προοιμιακόν, τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η΄. καί ψάλλομεν β΄. Προεόρτια καί στ΄ τῶν Μαρτύρων*

*Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν*

Ἡ σεπτή εὐπρεπίζεται, Ἐκκλησία εἰσδέξασθαι, ἐν αὐτῇ τόν Κύριον ὥσπερ νήπιον, ἐπιδημοῦντα καί χάρισι, νοητῶς φαιδρύνοντα, τό πιστότατον αὐτῆς, καί φιλόθεον σύστημα· ᾧ καί κέκραγε· Σύ εἶ δόξα καί κλέος καί ὁ κόσμος, τοῦ πληρώματός μου Λόγε, ὁ νηπιάσας σαρκί δι᾿ἐμέ.

Ἡ παστάς ἡ πολύφωτος, καί σκηνή ἡ ὑπέρτιμος, καί ναός ὁ ἅγιος καί εὐρύχωρος, ἔνδεον θαλάμων εἰσάγουσα, τοῦ Ναοῦ τόν Κύριον, προμνηστεύεται αὐτόν, τῇ σεπτῇ Ἐκκλησίᾳ αὐτοῦ, ἱκετεύουσα· ἐκ φθορᾶς καί κινδύνων λυτρωθῆναι, τούς κυρίως Θεοτόκον, ταύτην ἀπαύστως δοξάζοντας.

**Τῶν Μαρτύρων**

*Ἦχος β΄. Ποίοις εὐφημιῶν.*

Πάντες οἱ Μεγαροῖς σήμερον, ἀνυμνήσωμεν τούς Ἀθλοφόρους, σύν Ἀδριανῷ τόν Πολύευκτον, Πλάτωνα ὁμοῦ καί Γεώργιον, τοῦ Χριστοῦ τούς θείους ἀριστέας· αὐτῶν γάρ, ὡς θησαυρόν τῆς θείας χάριτος, τά θεῖα, ὑπό τήν γῆν εὕρομεν λείψανα, εὐωδιάζοντα πᾶσαν εὐσεβῶν καρδίαν· οἷς προσπέσωμεν εὐλαβῶς, Χριστόν μεγαλύνοντες, τό λαμπρῶς αὐτούς δοξάσαντα.

Πόθῳ τήν ἱεράν εὕρεσιν, ἑορτάσωμεν τῶν Ἀθλοφόρων· τούτων γάρ πάντιμα λείψανα, ὑπό γῆν χρονίως κρυπτόμενα, νεύσει ἀνεφάνησαν τῇ θείᾳ, ὡς κρίνα, εὐωδιάζοντα τοῦ Πνεύματος, τήν χάριν, τήν Ἐκκλησίαν κατευφραίνουσαν καί ἰαμάτων ἀκτῖνας, ἐφαπλοῦντα πᾶσι, τοῖς προσπίπτουσιν εὐλαβῶς καί τούτων τήν εὕρεσιν, κατά χρέος ἑορτάζουσι.

Ποίοις ἀθλητικοῖς ἄσμασιν, ἀνυμνήσωμεν τούς Ἀθλοφόρους, τούς ἐν Μεγάροις ἀθλήσαντας, πάλαι καί Χριστόν μεγαλύναντας, καί τῇ ἱερᾷ αὐτῶν εὑρέσει, τῷ κόσμῳ, τήν κεκρυμένην ὡραιότητα, ὡς ὄντως, τῆς εὐσεβείας καταγγέλοντας, τῇ τῶν θαυμάτων δυνάμει καί τῇ ὑπέρ, εὐωδίᾳ μυρεψικῇ, δι' ὧν ἀπελαύνουσι, τοῦ ἐχθροῦ πᾶσαν τήν δύναμιν.

*<u>Ἦχος δ.</u> Ὡς γενναῖον ἐν Μάρτυσιν*

Ὡς ἀστέρες νεόφωτοι, οἱ τετράριθμοι Μάρτυρες, ἐκ Μεγάρων ἔλαμψαν καί καταύγασαν, τῆς Ἐκκλησίας τό πλήρωμα, Πλάτων ὁ ἔνδοξος, ὁ στερρός Ἀνδιανός, ὁ θεόφρων Πολυευκτός καί Γεώργιος, τοῦ Χριστοῦ οἱ γενναῖοι στρατιῶται, οὕς ὑμνήσωμεν συμφώνως, ὡς Ἐκκλησίας στηρίγματα.

Ὥσπερ ἄνθη ἀμάραντα, ἐκ τῆς γῆς ἀνεφάνησαν, ἔνθα ἐπί μήκιστον χρόνον ἔκειντο, ἐν ἀφανείᾳ κρυπτόμενα, τετράριθμοι Μάρτυρες, εὐδοκίᾳ θεϊκῇ, τά σεπτά ὑμῶν λείψανα ἀπαστράπτοντα, τῆς μελλούσης ζωῆς τήν θείαν δόξαν ἐνεργείᾳ τῶν θαυμάτων, καί εὐωδίᾳ τῆς χάριτος.

Μεγαρίδος εὐφράνθητι, ἡ περίοικος ἅπασα, τήν ἁγίαν εὕρεσιν ἑορτάζουσα, τῶν Ἀθλητῶν τοῦ Παντάνακτος, Πλάτωνος τοῦ μάκαρος, τοῦ στερροῦ Ἀδριανοῦ, Πολυεύκτου

www.tezaurliturgic.ro

συνάμα δέ, Γεωργίου τε, καί λειψάνων αὐτῶν τήν θείαν θήκην, θεοφρόνως προσκυνοῦσα, τόν Ἀθλοθέτην μεγάλυνον.

*Δόξα. Ἦχος πλ.β*

Τούς Ἀθλοφόρους τοῦ Χριστοῦ καί εὐκλεεῖς ὁπλῖτας, Μεγάρων τούς προστάτας καί πρεσβευτάς πρός Κυριον συνελθόντες φιλομάρτυρες, εὐφημήσωμεν λέγοντες˙ χαίρετε οἱ ἐν ἀδήλοις χρόνοις ἀθλήσαντες, καί τήν χρονίαν ὑποστάντες, ἐπί πλείστοις ἔτεσι˙ χαίρετε οἱ ἐν ἐσχάτοις χρόνοις γνωσθέντες, τῇ φενερώσει τῶν ἱερῶν ὑμῶν λειψάνων, νεύσει θείᾳ χαίρετε Ἀδριανέ καί Πολύευκτε καί Πλάτων καί Γεώργιε, οἱ τῶν Ἀγγέλων ἰσοστάσιοι. Ὡς ἔχοντες παρρησίαν πρός Χριστόν τόν Σωτῆρα, Μάρτυρες ἔνδοξοι, πρεσβεύσατε δεόμεθα, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

*Καί νῦν. Ὁ αὐτός.*

Ἀνοιγέσθω ἡ πύλη τοῦ οὐρανοῦ˙ ὁ γάρ ἄναρχος Λόγος τοῦ Πατρός, ἀρχήν λαβών χρονικήν, μή ἐκστάς τῆς αὐτοῦ θεότητος, ὑπό Παρθένου ὡς βρέφους τεσσαρακονθήμερον, Μητρός ἑκών προσφέρεται, ἐν ναῷ τῷ νομικῷ˙ καί τοῦτον ἀγκαλαις εἰσδέχεται ὁ Πρέσβυς. Ἀπόλυσον κράζων, ὁ δούλος τῷ Δεσπότῃ˙ οἱ γάρ ὀφθαλμοί μου εἶδον τό σωτήριον σου. Ὁ ἐλθών εἰς τόν κόσμον, σῶσαι γένος ἀνθρώπων, Κύριε δόξα σοι.

***Προφητείας Ἡσαΐου τό Ἀνάγνωσμα.***
***( κεφ. μγ.9)***

Τάδε λέγει Κύριος. Πάντα τά ἔθνη συνήχθησαν ἅμα καί συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς ἤ τά ἐξ ἀρχῆς, τίς ἀκουστά ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τούς μάρτυρας αὐτῶν καί δικαιωθήτωσαν καί εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι Μάρτυρες, καί ἐγώ Κύριος ὁ Θεός καί ὁ παῖς, ὅν ἐξελεξάμην˙ ἵνα γνῶτε, καί πιστευσητε, καί συνῆτε, ὅτι ἐγώ εἰμί. Ἔμπροσθεν μου οὐκ ἐγένετο ἄλλος Θεός καί μετ' ἐμέ ἔσται. Ἐγώ εἰμί ὁ Θεός, καί οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγώ ἀνήγγειλα καί ἔσωσα, ὠνείδισα, καί οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοί μάρτυρες, καί ἐγώ Κύριος ὁ Θεός˙ ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καί οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καί τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραηλ.

www.tezaurliturgic.ro


### *Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα*
### *(Κεφ. γ.1)*

Δικαίων ψυχαίς ἐν χειρί Θεοῦ, καί οὐ μή ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καί ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα˙ οἱ δέ εἰσιν ἐν εἰρήνη. Καί γάρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσιν, ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης. Καί ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται˙ ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς καί εὗρεν αὐτούς ἀξίους ἑαυτοῦ. Ὡς χρυσόν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καί ὡς σπινθῆρες ἐν καλάμη διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καί κρατήσουσι λαῶν καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ'αὐτόν, συνήσουσιν ἀληθείαν, καί οἱ πιστοί ἐν ἀγάπη προσμενοῦσιν αὐτῷ˙ ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### *Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα*
### *(Κεφ. ε.5. στ.1)*

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι, και ἐν Κυρίῳ ὁ μισθός αὐτῶν, καί ἡ φροντίς αὐτῶν παρά Ὑψίστου. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας καί τό διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου˙ ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς καί τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τόν ζῆλον αὐτοῦ καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακας, δικαιοσύνην˙ καί περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα˙ ὀξύνει δέ ἀπότομον ὀργήν εἰς ρομφαίαν.Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπί τούς παράφρονας˙ πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καί ὡς εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπί σκοπόν ἁλοῦνται καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θιαλάσσης˙ ποταμοί δέ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καί ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καί ἐρημώσει πᾶσαν τήν γῆν ἀνομία καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καί

www.tezaurliturgic.ro

σύνετε˙ μάθετε Δικασταί περάτων γῆς˙ ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καί γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν˙ ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ὑμῖν, καί ἡ δυναστεία παρά Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ ΙΔΙΟΜΕΛΑ

*Ἦχος α΄.*

Εὐφραίνου ἐν Κυρίῳ, τῶν Μεγαρέων ἡ πόλις, μαρτυρικοῖς ἀρδευθεῖσα αἵμασι καί τῇ εὑρέσει τῶν ἱερῶν λειψάνων ἁγιασθεῖσα, Ἀδριανοῦ καί Πολυεύκτου καί Πλάτωνος καί Γεωργίου, τῶν καλλινίκων Μαρτύρων˙ ἀδήλοις χρόνοις γάρ ἐν σοι ἠγωνίσαντο, καί ἀρτίως ἡμῖν ἐφανέρωσαν, τά θεῖα αὐτῶν λείψανα, ὡς θησαυρόν θεόσδοτον˙ οἷς ἐν πίστει προσπίπτουσα, τούς ἀγῶνας αὐτῶν ὕμνησον, καί τῷ Σωτῆρι βόησον˙ Κύριε δόξα σοι.

*Ἦχος β.*

Τήν τῶν Μαρτύρων ὑπέρτιμον χορείαν, μαρτυρικοῖς ὕμνοις καταστέψωμεν, πρός αὐτούς ἐκβοῶντες˙ χαίροις Πλάτων ἀήττητε, χαίροις μάκαρ Ἀδριανέ, χαίροις Πολύευκτε πανένδοξε, χαίροις στερρέ Γεώργιε, οἱ τῆς Τριάδος τῇ πίστει ἀριστεύσαντες καί τῶν ἀοράτων ἐχθρῶν τάς τάξεις τροπωσάμενοι, ἀθλητικοῖς καμάτοις καί στερροτάτῃ ψυχῇ˙ διό ὑμᾶς γεραίρομεν, ὡς μεσίτας ἡμῶν πρός Κύριον.

*Ἦχος γ.*

Ὡς κρίνα τοῦ ἀγροῦ, κατά τήν θείαν ῥῆσιν, τά ἱερά ὑμῶν λείψανα ἐφάνησαν, ἐκ τῶν τῆς γῆς Μάρτυρες τετράριθμοι˙ καί τήν εὐωδίαν τῆς πίστεως διαπνέοντα, παθῶν δυσωδίαν ἀπελαύνουσι, και σωμάτων καί ψυχῶν, τάς νόσους, ἰῶνται, καί εὐφραίνουσιν ἡμᾶς, ταῖς μυστικαῖς πνοαῖς τῆς ἐνεργείας τοῦ θείου Πνεύματος˙ διό τήν εὕρεσιν αὐτῶν τιμῶντες, δοξάζομεν Χριστόν, τόν ὑμᾶς θαυμαστώσαντα.

www.tezaurliturgic.ro


*Ἦχος δ.*

Εὐφράνθη τῶν Μαρτύρων ἡ πόλις, τῇ εὑρέσει τῶν λειψάνων ὑμῶν Μάρτυρες καί τῆς ἀθλήσεως ὑμῶν τά παλαίσματα, εὐφήμως γεραίρει, αὐτοῖς προσπίπτουσα καί τῷ Χριστῷ βοῶσα· Φιλάνθρωπε Κύριε, ταῖς τῶν τεσσάρων Ἀθλοφόρων σου πρεσβείαις ἡμῖν τά ἐλέη σου, καί σῶσον τάς ψυχάς ἡμῶν.

*Δόξα. Ὁ αὐτός.*

Ἡ τοῦ Προφητάνακτος Δαβίδ, ἁγιόφθογγος ῥῆσις ἡ φάσκουσα, φυλάσσει Κύριος τά ὀστᾶ τῶν Ὁσίων αὐτοῦ, καί ἐν ὑμῖν πληροῦται τετράριθμοι Μάρτυρες· μετά πολυχρόνιον γάρ ταφήν, τά θεῖα ὑμῶν λείψανα ἡμῖν δεδώρηται, ἁγιασμοῦ πλήρη, καί εὐωδίαν θείαν ἀποπνέοντα. Ἀλλ' ὦ Ἀδριανέ καί Πολύευκτε, σύν Πλάτωνι καί Γεωργίῳ, Μεγαρέων ἱερά καλλωπίσματα, πρεσβεύσατε ὑπέρ τῶν ψυχῶν ἡμῶν.

*Καί νῦν. Ὁ αὐτός.*

Σήμερον ἡ ἱερά Μήτηρ καί τοῦ ἱεροῦ ὑψηλοτέρα, ἐπί τό ἱερόν παραγέγονεν, ἐμφανίζουσα τῷ κόσμῳ, τόν τοῦ κόσμου Ποιητήν, καί τοῦ νόμου πάροχον· ὅν καί ἐν ἀγκάλαις ὑποδεξάμενος, ὁ πρεσβύτης Συμεών, γεραίρων ἐκραύγαζε· Νῦν ἀπολύεις τόν δοῦλον σου · ὅτι εἶδον σε τόν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΩΝ ΣΤΙΧΩΝ ΣΤΙΧΗΡΑ ΠΡΟΣΟΜΟΙΑ

*Ἦχος πλ.α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις ἡ τῶν Μαρτύρων τετράς, τῶν Ἀθλοφόρων κοινωνοί καί ὁμότροποι· οἱ πάλαι ἐν τοῖς Μεγάροις, ὑπέρ τῆς δόξης Χριστοῦ, μαρτυρίου πόνους διανύσαντες, Γεώργιε ἔνδοξε, Πλάτων καί ὁ Πολύευκτος, Ἀδριανέ στέῤῥε, εὐσεβείας οἱ πρόβολοι·

www.tezaurliturgic.ro


ἄνθη τά εὐωδέστατα, τῆς θείας χρηστότητος, τά διαπνέοντα κόσμῳ, τήν εὐωδίαν τήν κρείττονα· Χριστόν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

*Στιχ: Θαυμαστός ὁ Θεός...........*

Χαίροις ἡ τῶν Μαρτύρων τετράς, οἱ τῶν ἐχθρῶν τάς παρατάξεις νικήσαντες, τῷ ὅπλῳ τῆς εὐσεβείας, ὡς στρατιῶται Χριστοῦ, καί βραβεῖα νίκης κομισαμένοι· ἀδήλοις γάρ ἔτεσι τόν ἀγῶνα ἀνύσαντες, καί πλείστοις χρόνοις, ἀφανεῖς διαμείναντες, κατακείμενοι, ὑπό γῆν πᾶσιν ἄγνωστοι, ἄρτι ἡμῖν ἐγνώσθητε, ὡς ἄστρα πολύφωτα, τῇ τῶν λειψάνων εὑρέσει, καταλαμπρύνοντες ἅπαντες καί πᾶσιν αἰτοῦντες, σωτηρίας καί εἰρήνην καί θεῖον ἔλεος.

*Στιχ:.Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ.............*

Χαίροις ἡ τῶν Μαρτύρων τετράς, τῶν Μεγαρέων πολιοῦχοι καί ἔφοροι, καί πρέσβεις πρός τόν Σωτῆρα, οἱ ἐξαιτοῦντες ἡμῖν, ἱλασμόν ἐν πᾶσι καί βοήθειαν, παμμάκαρ Πολύευκτε, Πλάτων ἅμα Γεώργιε σύν Ἀδριανῷ, τῷ ἐν πᾶσι θεόφρονι· λύχνοι ἀειλαμπέστατοι, οἱ κόσμῳ ἐκλάμποτες, τῆς θεϊκῆς εὐσπλαχνίας, τάς διαδόσεις καί χάριτας· Χριστόν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τό θεῖον ἔλεος.

*Δόξα. Ἦχος πλ.δ΄.*

Τοῦ μαρτυρίου τήν ὁδόν, ἐμφανῶς τελέσαντες, ἀφανεῖς πλείστοις ἔτεσιν ἐμείνατε, ὑπό γῆν κρυπτόμενοι, Ἀθλοφόρε τετράριθμοι· καί νῦν χάριτος πολλῆς, τήν Ἐκκλησίαν ἐπλήσατε, φανερωθέντες τῷ κόσμῳ, τῇ εὑρέσει τῶν θείων λειψάνων ὑμῶν μακάριοι· ὧν τήν μνείαν ἄγοντες, τούς μαρτυρικούς ὑμῶν ἄθλους γεραίρομεν, δοξάζοντες, Χριστόν τόν ὑμᾶς δοξάσαντα.

*Καί νῦν. Ὁ αὐτός.*

www.tezaurliturgic.ro

Ὁ τοῖς Χερουβείμ ἐποχούμενος καί ὑμνούμενος ὑπό τῶν Σεραφείμ, σήμερον τῷ θείῳ ἱερῷ κατά νόμον προσφερόμενος, Πρεσβυτικαῖς ἐνθρονίζεται ἀγκάλαις· καί ὑπό Ἰωσηφ εἰσδέχεται δῶρα θεοπρεπῶς, ὥς ζεῦγος τρυγόνων τήν ἀμίαντον Ἐκκλησίαν, καί τῶν Ἐθνῶν τόν νεόλεκτον λαόν· περιστερῶν δέ δύο νεοσσούς, ὡς ἀρχηγός Παλαιᾶς τε καί Καινῆς. Τοῦ πρός αὐτόν χρησμοῦ δέ Συμεών, τό πέρας δεξάμενος, εὐλογῶν τήν Παρθένον Θεοτόκον Μαρίαν, τά τοῦ πάθους σύμβολα, τοῦ ἐξ αὐτῆς προηγόρευσε· καί παρ' αὐτοῦ ἐξαιτεῖται τήν ἀπόλυσιν βοῶν· Νῦν ἀπολύεις με Δέσποτα, καθώς προεπηγγείλω μοι· ὅτι εἶδον σε τό προαιώνιον φῶς, καί Σωτῆρα Κύριον τοῦ Χριστωνύμου λαοῦ.

**Νῦν ἀπολύεις......., τό τρισάγιον, καί τό Ἀπολυτίκιον.**

*Ἦχος γ. Θείας πίστεως.*

Ὡς θησαύρισμα, πόλις Μεγάρων, ὑμῶν εὗρατο, τήν τῶν λειψάνων, θείαν λάρνακα τετράριθμοι Μάρτυρες, Ἀδριανέ καί θεόφρον Πολύευκτε, Πλάτων ὁμοῦ καί Γεώργιε ἔνδοξε, ἥ αἰτήσασθε, διδόναι πταισμάτων ἄφεσιν, θεόθεν καί εἰρήνην τε καί ἔλεος.

*Ἕτερον*

*Ἦχος α΄. Τοῦ λίθου σφραγιθέντος*

Τετράς ἡ τῶν Μαρτύρων τῆς Τριάδος οἱ πρόμαχοι, σύν Ἀδριανῷ θεῖε Πλάτων καί θεόφρον Πολύευκτε, ὁμοῦ σύν Γεωργίῳ τῷ κλεινῷ, Μεγάρων ἀντιλήπτορες θερμοί, πάσης βλάβης ἐκλυτροῦσθε καί συμφορᾶς, τούς πίστει ἀνακράζοντας· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ φανερώσαντι, δόξα τῷ ἐνεργοῦντι δι' ὑμῶν, πᾶσιν ἰάματα.

*Καί τό τῆς Ἑορτῆς*

**Ἦχος, Ὁ αὐτός.**

Οὐράνιος χορός, οὐρανίων ἀψίδων, προκύψας ἐπί τῆς γῆς, καί φερόμενον βλέπων, ὡς βρέφος ὑπομάζιον, πρός ναόν τόν πρωτότοκον, πάσης κτίσεως, ὑπό Μητρός ἀπειράνδρου, προεόρτιον, νῦν σύν ἡμῖν μελωδοῦσι, φρικτῶς ἐξιστάμενοι.

ΑΠΟΛΥΣΙΣ

www.tezaurliturgic.ro


# ἈΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΡΘΡΟΥ

*Μετά τήν Α΄ Στιχολογία, Κάθισμα*

*Ἦχοςα΄. Τόν τάφον σου Σωτήρ.*

Ἀθλήσαντες στερρῶς, δι᾽ ἀγάπην Κυρίου, τετράριθμοι στερροί, τοῦ Χριστοῦ στρατιῶται, ἀγνώριστοι ἐμείνατε, ὑπό γῆν πλείστοις ἔτεσι, νῦν δέ ὤφθητε, ὥσπερ νεόφωτα ἄστρα καί πυρσεύετε, τάς τῶν πιστῶν διανοίας, θαυμάτων δυνάμεσι.

*Προεόρτιον, ὅμοιον.*

Ἀγκάλαις τῆς Μητρός, ὁ τῶν ὅλων Δεσπότης, ὡς βρέφος τῷ ναῷ, οδηγεῖται τοῦ νόμου, καί τοῦτον ὑποδέξασθαι, Συμεών ὁ πρεσβύτατος, σπεύδει Πνεύματι, χειραγωγούμενος θείῳ, ὅθεν ἅπαντες προεορτίους αἰνέσεις, αὐτῷ προσαγάγωμεν.

*Μετά τήν Β΄ Στιχολογία, Κάθισμα.*

*Ἦχος πλ.α΄. Τον συνάναρχον Λόγον.*

Μεγαρέων ἡ πόλις ἠγαλλιάσατο, τῇ ἀνευρέσει τῶν θείων ὑμῶν λειψάνων πιστῶς, Ἀθλοφόροι τοῦ Χριστοῦ οἱ καρτερόψυχοι, καί τήν ἐτήσιον αὐτῶν, μνήμην τιμᾷ πνευματικῶς, βοῶσα ὑμῖν ἀπαύστως· Ἀπό παντοίων κινδύνων, ἡμᾶς λυτροῦσθε θεῖοι Μάρτυρες.

*Προεόρτιον, ὅμοιον.*

www.tezaurliturgic.ro


Ἡ Ἁγνή Θεοτόκος καθάπερ νήπιον, τόν ὑπέρθεον Λόγον ἐν ταῖς ἀγκάλαις αὐτῆς, προσκομίζει τῷ ναῷ ὅν ὑπεδέξατο, ὁ Πρέσβυτης Συμεών, καί ἐβόησε αὐτῷ˙ Ἀπόλυσον με Οἰκτίρμον,ὅτι εἶδον Σωτήρ μου, σωματωθέντα ὑπέρ ἔννοιαν.

*Μετά τόν Πολυέλεον, Κάθισμα.*

*Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ*

Τούς τετράριθμους τοῦ Χριστοῦ Ἀθλοφόρους, τούς ἐν Μεγάροις ἐναθλήσαντες πάλαι, καί γνωρισθέντας ἤδη ἐν τοῖς πέρασι, Πλάτωνα Πολύευκτον καί Γεώργιον ἅμα, Ἀδριανόν τιμήσωμεν ὁμοφώνως βοῶντες˙ ἐκ κινδύνων ρύσασθε ἡμᾶς, Μάρτυρες θεῖοι, Τριάδος ὑπέρμαχοι.

*Προεόρτιον, ὅμοιον.*

Ἡ Ἀειπάρθενος Ἁγνη Θεοτόκος, τόν αὐτῆς σωματωθέντα ἀτρέπτως, οἷά περ βρέφος φέρει ὑπομάζιον, τεσσαρακονθήμερον, ἐν ναῷ τοῦ Κυρίου ὅνπερ ὑπεδέξατο, Συμεών ὁ Πρεσβύτης˙ διό συμφώνως πάντες οἱ πιστοί, προεορτίους ᾠδάς αὐτῷ ᾄσωμεν.

*Τό α΄. ἀντίφωνον τοῦ δ΄. ἤχου καί τό Προκείμενον.*

*Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.......*

***Στιχ:*** *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

**Εὐαγγέλιον κατά Λουκάν.**

- *(Ζήτει αὐτό ἐν τῷ ὄρθῳ τοῦ Ἁγίου Γεωργίου. Κγ΄ Ἀπριλίου).*

*Ὁ Ν΄. Δόξα. Ταῖς τῶν Ἀθλοφόρων.....*
*Καί νῦν. Ταῖς τῆς Θεοτόκου......*

*Ἰδιόμελον. Ἦχος πλ.β΄.*

www.tezaurliturgic.ro

*Στιχ: Ἐλέησόν με ὁ Θεός κατά τό μέγα,.....*

Μαρτυρικοῖς ἀγῶσιν ἀγλαϊσθέντες, ὡς χρυσίον πολύτιμον ὑπό γῆν ἐκρύπτεσθε, Ἅγιοι Μάρτυρες· καί εὐδοκίᾳ θείᾳ ἡμῖν φανέντες, ὡς ἀστέρες νεοφανεῖς τῆς μελλούσης ζωῆς τά προοίμια ἐκφαίνετε, τῇ ἐνοικούσῃ ἐν ὑμῖν θείᾳ χάριτι, ἱλασμόν αἰτούμενοι πᾶσι καί παθῶν θεραπείαν, καί τό θεῖον ἔλεος.

**Ιερεύς:Σῶσον ὁ Θεός..........**

*Εἶτα οἱ κανόνες, ὁ Προεόρτιος καί τῶν Ἁγίων οὗ ἡ ἀκροστοιχίς:*
( Μάρτυσι τέσσαρσι θεῖοις ὕμνος Γερασίμου)

***Ὠδή α΄. Ἦχος δ΄. Ἀνοίξω τό στόμα μου.***

Μονάς τρισυπόστατε, Πάτερ Υἱέ Πνεῦμα Ἅγιον, Τριάς Ὑπερούσιε, ταῖς τῶν Μαρτύρων λιταῖς, λόγον μοι, ὡς ὑμνήσω τούτων, τήν εὕρεσιν Κύριε, καί τά παλαίσματα.

Ἀθλήσεως σκάμμασιν, ἐν τοῖς Μεγάροις δοξάσαντες, ἀδήλοις ἐν ἔτεσι Χριστόν τόν Κύριον, θεῖοι Μάρτυρες καί ἄγνωστοι τελοῦντες, ἀρτίως ἐγνώσθε, ἡμᾶς εὐφραίνοντες.

Ρεόντων ὑπέρτεροι, ἔρωτι θείῳ γενόμενοι, νομίμως ἠθλήσατε, ὑπέρ τῆς δόξης Χριστοῦ, Πλάτων ἔνδοξε, Ἀδριανέ θεόφρον καί θεῖε Πολύεκτε, μάκαρ Γεώργιε.

***Θεοτοκίον.***

Τόν πάντων δεσπόζοντα, σάρκα ἐκ σοῦ δανεισάμενον, ἀτρέπτως ἐκύησας, πλούτῳ χρηστότητος, Κόρη Πάναγνε· διό ὑμνολογοῦμεν, τό μέγα μυστήριον τῆς σῆς κυήσεως.

*Κανών Δεύτερος οὗ ἡ ἀκροστοιχίς:*
( Καί αὖθις Ἀθληται ὑμᾶς μέλπω. Γερασίμου)

### *Ἦχος πλ.δ΄. Ἁρματηλάτην Φαράω.*

Κεκοσμημένοι ἀφθαρσίας χάριτι, ὡς Ἀθληταί τοῦ Χριστοῦ, Ἀδριανέ θεῖε ἔνδοξε Πολύευκτε καί Πλάτων καί Γεώργιε, ἀρωγοί ἡμῶν θεῖοι ἐκ πάσης θλίψεως ρύεσθαι, τούς ὑμῶν τήν εὕρεσιν μέλποντας.

Ἄγνωστοι πλείστοις ἔτεσι ὑπάρχοντες, καί ἐν ταμείοις τῆς γῆς, ὄντες κεκλεισμένοι, ἄρτι ἐπεγνώσθητε, τούς Μεγαρεῖς εὐφραίνοντες τῇ εὑρέσει τῶν θείων ὑμῶν λειψάνων μακάριοι, χάριν ἐκβλυζόντων καί ἔλεος.

Ἰχνηλατοῦντες τοῦ Χριστοῦ τό ἄχραντον πάθος μακάριοι, σύμμορφοι τῆς τούτου, εἰκόνος γεγόνατε, ἀθλητικοῖς παλαίσμασιν, Ἀθλοφόροι Κυρίου τῶν Ἀσωμάτων συνόμιλοι˙ ὅθεν ὑμᾶς πόθῳ γεραίρομεν.

### *Θεοτοκίον.*

Ἀπειρογάμως τόν Χριστόν ἐκύησας, τόν δι᾿ ἡμᾶς καθ᾿ἡμᾶς, ἀτρέπτως Παρθένε, ἄνθρωπον γενόμενον, τόν τούς ἁγίους Μάρτυρες, μεγαλύνοντα κόσμῳ, μεθ᾿ ὧν δυσώπει τοῦ σώζεσθαι, τούς σέ Θεοτόκε δοξάζοντας.

### *Καταβασία:Χέρσον ἀβυσσοτόκον.*

### *Ὠδή γ΄. Τούς σούς ὑμνολόγους.*

---

Ὑπήλθετε σθένει οὐρανίῳ, Μαρτύρων ἀγῶνας τούς στερρούς, Μάρτυρες οἱ τετράριθμοι, καί τοῦ ἐχθροῦ τάς φάλαγγας, μαρτυρικοῖς παλαίσμασι, περιφανῶς ἐτροπώσασθε.

Συμφώνως ὑμᾶς ἀνευφημοῦμεν, συμφώνως ἀθλήσαντες ὁμοῦ, Ἀδριανέ Πολύευκτε καί Πλάτων καί Γεώργιε καί Μεγαρέων ἅπασιν, τήν πόλιν καθαγιάσαντες.

Ἰάσεις πηγάζοντα ποικίλας, τά λείψανα Μάρτυρες ὑμῶν ἀπό τῆς γῆς ἐφάνησαν, ὡς θησαυροί θεόσδοτοι˙ διό αὐτῶν τήν εὕρεσιν πνευματικῶς ἑορτάζομεν.

www.tezaurliturgic.ro



*Θεοτοκίον.*

Τόν πάντων Θεόν καί βασιλέα, τεκοῦσα Ἁγνή σωματικῶς, κόσμῳ παντός βασίλισσα καί σωτηρία πέφηνας, ἀσύγκριτον πλουτήσασα, μεγαλοσύνην Πανύμνητε.

*Δεύτερος. Ὁ στερεώσας κατ' ἀρχάς.*

Ὑπό τῆς ἄνωθεν ῥοπῆς, δυνάμιν θείαν λαβόντες, κατεσχύσατε σαρκός ἀσθενείᾳ τῶν ἐχθρῶν τῶν νοητῶν, Χριστόν ὁμολογήσαντες τετράριθμοι ὁπλῖται τοῦ βασιλέως τῆς κτίσεως.

Θαυματουργοῦντα μυστικῶς τῇ θεϊκῇ ἐνεργείᾳ καί εὐφραίνοντα ὀσμῇ μυριπνόῳ, τάς καρδίας τῶν πιστῶν, τά λείψανα ἐφάνησαν, γῆθέν ὑμῶν τά θεῖα, ὦ Ἀθλοφόροι τετράριθμοι.

Ἴσχυσαν Δέσποτα Χριστέ, τῷ σῷ Σταυρῷ κρατυθέντες, καθελεῖν τάς τοῦ ἐχθροῦ παρατάξεις, Πλάτων καί Ἀδριανός καί ὁ στερρός Πολύευκτος, ὁμοῦ σύν Γεωργίῳ καί τῆς σῆς δόξης ἐπέτυχον.

*Θεοτοκίον.*

Σάρκα λαβών ἄνευ τροπῆς, ἐκ τῶν ἁγνῶν σου αἱμάτων, Θεοτόκε Ὑπέρθεος Λόγος, διπλοῦς ὤφθη ἐπί γῆς, Θεός ὁμοῦ καί ἄνθρωπος, καί ἔσωσε Παρθένε, τόν πεπτωκότα πρίν ἄνθρωπον.

*Καταβασία: Τό στερέωμα.........*

*Κάθισμα.*

*Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.*

Ἐν Μεγάροις Ἀθληταί, ἀγωνισάμενοι καλῶς κατεβάλετε ἐχθροῦ, τάς πολυπλόκους μηχανάς καί οὐρανίων ἠξιώθητε ἐπάθλων· ὅθεν ὑπό γῆν ὑμῶν τά λείψανα, ἔκειντο πολλοῖς χρόνοις κρυπτόμενοι, ὧν ἑορτάζοντες ἤδη τήν εὕρεσιν, ὑμῶν ὑμνοῦμεν τήν ἄθλησιν, δι' ἧς ἀξίως, τῆς οὐρανίου, βασιλείας ἠξιώθητε.

www.tezaurliturgic.ro


*Προεόρτιον. Ὅμοιον.*

Προεόρτιον ᾠδήν, νῦν σοι προσάγομεν Ἁγνή, κομιζούσῃ τῷ ναῷ, τόν προαιώνιον Θεόν, καθάπερ βρέφος Παρθένε ὑπομάζιον, ὅνπερ Συμεών πάλαι ἀνέμενεν, ἤδη δέ αὐτόν χαίρων ἐδέξατο καί εὐχαρίστως τοῦτον ἀνύμνησε καί γεγηθῶς ἀνεκραύγαζεν· Ἀπόλυσόν με, Σῶτερ Οἰκτίρμον, ὅτι εἶδον σε σήμερον.

*Ὠδή δ'. Ὁ καθήμενος ἐν δόξῃ.*

Ἐν φρονήματι ἀνδρείῳ τόν Χριστόν ἐκηρύξατε, Ἀδριανέ μάκαρ, Πλάτων καί θεόφρων Πολύευκτε, σύν Γεωργίῳ στερρῶς ἀγωνιζόμενοι καί κραυγάζοντες· δόξα Χριστέ τῇ δυνάμει σου.

Σοφιστείας τῆς ἀπάτης ἐν σοφίᾳ τῇ κρείττονι, Μάρτυρες Κυρίου κατασοφισάμενοι χαίροντες, τοῦ μαρτυρίου τόν δρόμον διηνύσατε, ἀνακράζοντες· δόξα Χριστέ τῇ δυνάμει σου.

Στρατευσάμενοι νομίμως,τῷ Χριστῷ διά πίστεως, τούτου στρατιῶται καί στερροί ὁπλῖται ὠράθητε, Ἀδριανέ καί Πολύευκτε Γεώργιε, σύν τῷ Πλάτωνι, τῷ τῆς ἀθλήσεως σκάμματι.

*Θεοτοκίον.*

Ἀπειράνδρως συλλαβοῦσα, καί τεκοῦσα Πανάμωμε, τόν ἐκ τοῦ μή ὄντος, λόγῳ ὑποστήσαντα ἅπαντα, ἐκ τῆς ἀρχαίας κατάρας ἠλευθέρωσας, τούς δοξάζοντας, τά μεγαλεῖα σου Ἄχραντε.

*Δεύτερος. Εἰσακήκοα Κύριε.*

Ἀθλοφόροι ἀήττητοι, ὤφθητε ἀνδρείως ἀγωνισάμενοι, ἀλλ' ἡμῖν ἄρτι ἐγνώσθητε, Μάρτυρες Κυρίου ἀεισέβαστοι.

Θείαν χάριν παρέχοντα καί τήν εὐωδίαν τοῦ θείου Πνεύματος, ἐκ τῆς γῆς ὑμῖν ἐφάνησαν, Ἀθληταί τά θεῖα ὑμῶν λείψανα.

Λαμπρυνόμενοι Μάρτυρες, τοῖς ἀθλητικοῖς καί θείαις ἐλλάμψεσιν, ἰαμάτων φῶς ἐκλάμπτετε, ἐν τῇ Μεγαρέων πόλει πάντοτε.

www.tezaurliturgic.ro



*Θεοτοκίον.*

Ἡ Θεόν σωματάσασα, Κεχαριτωμένη ὑπέρ κατάληψιν, σώματός μου τήν ἀσθένειαν, καί ψυχῆς τόν πόνον παῦσον δέομαι.

*Καταβασία: Ἐκάλυψεν οὐρανούς..........*

*Ὠδή ε΄. Ἐξέστη τά σύμπαντα.*

---

Ῥωννύμενοι χάριτι, τοῦ Παναγίου Πνεύματος, εἷλον τοῦ ἐχθροῦ τήν δυναστείαν, Ἀδριανός τε καί ὁ Πολύευκτος, Πλάτων καί Γεώργιος ὁμοῦ καί Χριστόν ἐδόξασαν, στερροτάτῳ φρονήματι.

Σαρκός ἀρρωστήματα, καί ψυχικά παθήματα, παύουσι δυνάμει θεοσδότῳ, ὑμῶν τά λείψανα θεῖοι Μάρτυρες, ὧν πανηγυρίζοντες φαιδρῶς, τήν ἁγίαν εὕρεσιν, τόν Σωτῆρα δοξάζομεν.

Ἰσχύς καταβέβληται, ἐχθροῦ τοῦ παναλάστορος, ἐν τῇ φανερώσει τῇ ἁγίᾳ τοῦ τάφου μετά χρονίαν ταφήν, ὑμῶν τῶν λειψάνων τῶν σεπτῶν, Μάρτυρες τετράριθμοι, καί Χριστός μεγαλύνεται.

*Θεοτοκίον.*

Θεόν τόν ἀσώματον, Παρθένε Παναμώμητε, σώζοντα ἡμᾶς δι' εὐσπλαγχνίαν, ἀποτεκοῦσα ἐν ὕλῃ σώματος, ὤφθης πλατυτέρα οὐρανῶν, ἀσυγκρίτως Δέσποινα, καί Ἀγγέλων βασίλισσα.

*Δεύτερος. Ἵνα τί μέ ἀπώσω;*

Τετρακτύν τήν ἁγίαν, τῶν στρατιωτῶν Χριστοῦ μακαρίσωμεν, Ἀδριανόν θεῖον, καί Πολύευκτον ἅμα καί Πλάτωνα, σύν τῷ Γεωργίῳ, τούς τῶν Μεγάρων πολιούχους καί μεσίτας θερμούς πρός τόν Κύριον.

Ἀπαστράπτουσα κόσμῳ, χάριν ἰαμάτων τῇ θείᾳ χρηστότητι, ὑμῶν τῶν λειψάνων, Ἀθλοφόροι ἡ θήκη ἡ

www.tezaurliturgic.ro

ἔνθεος, ὤφθη ἐκ τοῦ τάφου, ἡ κεκρυμμένη πολλοῖς χρόνοις, καί χαρᾶς ἡμᾶς πάντας ἐνέπλησε.

Ἱλασμόν σωτηρίας, τῇ τοῦ Παρακλήτου δυνάμει καί χάριτι, τοῖς πιστοῖς παρέχει, τῶν λειψάνων σορός ἡ μυρίπνοος, ὑμῶν Ἀθλοφόροι˙ ὅθεν τῇ τούτων φανερώσει, ἑορτήν συγκροτοῦμεν πανίερον.

**Θεοτοκίον.**

Ὑπέρ φύσιν καί λόγον, τόν ἀπεριόριστον φύσει θεότητος, Λόγον τετοκυῖα, μορφωθέντα δι᾽ οἶκτον ἀμέτρητον, φύσιν τῶν ἀνθρώπων, Ὑπεραγία Θεοτόκε, τῆς φθορᾶς τούς ἀνθρώπους ἀπήλλαξας.

***Καταβασία:Ὡς εἶδεν Ἠσαΐας.***

***᾽Ωδη στ΄. Τήν θείαν ταύτην.***

Ἐκ τῶν ἐγκάτων ὡς ὤφθησαν, τῆς γῆς ὑμῶν τά ἅγια λείψανα, Ἅγιοι Μάρτυρες, οἷα χρυσίον πολύτιμον, τήν Μεγαρέων πόλιν, καθαγιάζουσιν.

Ἰσχύν καί χάριν καί ἔλεος, παρέχουσι τετράριθμοι Μάρτυρες, ὑμῶν τά λείψανα, τοῖς πίστει τούτοις προστρέχουσι καί ἀνυμνοῦσι πόθῳ, ὑμῶν τήν ἄθλησιν.

Οἱ Μεγαρέων ὑπέρμαχοι, Ἀδριανός καί Πλάτων Πολύευκτος καί ὁ Γεώργιος, κοινοῖς ἐν ὕμνοις τιμάσθωμεν ὡς πρός Χριστόν μεσῖται, ἡμῶν θερμότατοι.

*Θεοτοκίον.*

Σαρκός φανείς ὁμοιώματι, Ἁγνή ἐκ τῶν ἀχράντων αἱμάτων σου, ὁ Ὑπερούσιος, δίχα τροπῆς καί συγχύσεως, ἐθέωσε Παρθένε, Ἀδάμ τό φύραμα.

www.tezaurliturgic.ro


*Δεύτερος. Ἱλάσθητί μοι Σωτήρ.*

Μαρτύρων θεία τετράς ὑμνολογείσθωσαν ἄσμασιν, Ἀδριανός ὁ κλεινός, Πλάτων καί Πολύευκτος, ὁμοῦ καί Γεώργιος, τά τῶν Μεγαρέων, ἱερά ἐγκαλλωπίσματα.

Ἀπό τοῦ τάφου ὑμῶν, μετά χρονίαν κατάκρυψιν, ἐδόθησαν τοῖς πιστοῖς, προνοίᾳ τῇ ἄνωθεν, τά πάντιμα λείψανα, ὑμῶν Ἀθλοφόροι, ὧν τήν εὕρεσιν γεραίρομεν.

Σύν Ἀσωμάτων χοροῖς συναγαλλόμενοι Μάρτυρες, Ἀδριανέ ἱερέ, Πλάτων καί Πολύευκτε, ὁμοῦ καί Γεώργιε, ἡμῶν τάς δεήσεις, δυσωποῦμεν ἐκπληρώσατε.

***Θεοτοκίον.***

Μαρία Μῆτερ Θεοῦ, ἡ βασιλίς κτίσεως καί προστασία ἡμῶν, καί κόσμου βοήθεια, βοήθει ἑκάστοτε, ἡμῖν τοῖς ἐν πίστει, ἀτενίζουσι τῇ σκέπῃ σου.

***Καταβασία: Ἐβόησέ σοι.***

**Κοντάκιον.**

***Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.***

Ἀθλητικῶς τόν ἀγῶνα ἠνύσατε,ἐν τοῖς Μεγάροις ἀδήλοις ἐν ἔτεσι· καί νῦν ἁγιάζετε, τῇ τῶν λειψάνων εὑρέσει μακάριοι· διό ὑμᾶς μέλπομεν Μάρτυρες.

## Ὁ Οἶκος.

Συμφωνίᾳ γνώμης καί ψυχῆς, ἀθλήσαντες νομίμως, ἐν τοῖς Μεγάροις Ἅγιοι ἐν ἔτεσι ἀδήλοις, ἐπί χρόνους πολλούς ἄγνωστοι τῇ Ἐκκλησίᾳ ἐτελεῖτε, κατακείμενοι ὑπό γῆν, ἐν τάφοις τοῖς οἰκείοις. Ἀλλ' ἀρρήτῳ Θεοῦ προνοίᾳ ἀρτίως γνωσθέντες, καί τά λείψανα ὑμῶν, ὡς θησαυρόν πολύτιμον τοῖς πιστοῖς φανερώσαντες, εὐφροσύνην πνευματικήν, καί χαράν ἰδιάζουσαν τῇ ἁγίᾳ τῶν Μεγαρέων Ἐκκλησίᾳ προεξενήσατε, Ἀδριανέ καί Πολύευκτε, Πλάτων καί Γεώργιε, Μάρτυρες Χριστοῦ ἀεισέβαστοι, καί θύματα

www.tezaurliturgic.ro


τέλεια Κυρίου· διό ἐν τῇ εὑρέσει τῶν σεπτῶν ὑμῶν λειψάνων χρεωστικῶς πανηγυρίζοντες, ὑμᾶς μέλπωμεν Μάρτυρες.

## Συναξάριον.

**Τῇ πρώτῃ τοῦ αὐτοῦ μηνός, ἑορτάζομεν τήν μνήμην τῶν ἐν Μεγάροις ἀνευθέντων τιμίων Λειψάνων τῶν Ἁγίων Μαρτύρων Ἀδριανοῦ, Πολυεύκτου, Πλάτωνος καί Γεωργίου.**

***Στιχ: Τετράριθμοι Μάρτυρες ὑπέρ χρυσίον Ἡμῖν ἐξεκάλυψαν λείψανα θεῖα.***

*Φεβρουαρίου πρώτῃ φαάνθησαν Μάρτυρες γῆθεν.*

*Τά κατά τούς ἁγίους τούτους μάρτυρας τυγχάνουν ἄγνωστα, ἥ, τε ἐποχή καθ' ἥν ἠγωνισαντο καί ὁ τρόπος τοῦ μαρτυρίου αὐτῶν. Ἐκ τῶν κατωτέρω τεκμαίρεται, ὅτι ἐν Μεγάροις ἤνυσαν τόν ἀγῶνα, ὅπου καί οἱ τάφοι αὐτῶν μετά τῶν ἱερῶν αὐτῶν λειψάνων, τῇ θεϊκῇ προμήθειᾳ ἀνεκαλύφθησαν τοιῷδε τρόπῳ.*

*Ὑπό τόν βαρύν ζυγόν τῆς τῶν Ἀγαρηνῶν σκληρᾶς δουλείας τελοῦντες οἱ πρόγονοι ἡμῶν, ἐν τῇ παλαιᾷ τῶν Μεγάρων κώμῃ, καί προσευχαῖς καί δεήσεσιν ἐκλιπαροῦντες τόν Κύριον, ἵνα τύχωσιν ἀνακουφίσεως, πολλοῖς σημείοις καί θαύμασι ἐλάμβανον ἄνωθεν βοήθειαν, καί θείαν παραμυθίαν, ὥστε καί οὗτοι οἱ Ἀγαρηνοί κατελαμβάνοντο ὑπό φόβου καί τρόμου.*

*Ἐν τοῖς χρόνοις ἐκείνοις, ἤτοι ἐν τῷ μέσῳ τῶν ἐτῶν 1600-1670, Μεγαρεύς τις, Οἰκονόμου τό ἐπώνυμον, ἠθέλησε νά ἀνεγείρῃ οἰκοδομήν εἰς τό μέρος ἀκριβῶς, ἔνθα εὑρίσκεται σήμερον ὁ φερώνυμος ναός τῶν Ἁγίων Μαρτύρων. Ἐνῶ δέ οἱ ἐργάται ἔσκαπτον, εἷς ἐξ αὐτῶν ᾐσθάνετο κάτωθεν τῶν ποδῶν αὐτοῦ θερμότητα, τοσοῦτον ἐπαισθητήν, ὥστε νά μή δύναται νά ἐργασθῇ ἐπί τοῦ μέρους ἐκείνου. Εἶπε τότε τοῦτο εἰς τόν ἐκεῖ πλησίον εὑρισκόμενον Οἰκονόμου, ὁ ὁποῖος σκάψας βαθύτερον ἰδίαις χερσίν, εὗρε μαρμάρινην πλάκα, ἐπί τῆς ὁποίας ἦσαν, κεχαραγμένα τά τῶν Ἁγίων ὀνόματα, ὡς ἑξῆς: Ἀδριανός, Πολύευκτος, Πλάτων Γεώργιος. Τότε ἀνέσυρεν αὐτήν, καί εὗρεν κάτωθεν αὐτῆς τά σεπτά τῶν Ἀθλοφόρων λείψανα. Ἀλλ' ἱερόσυλοι τινες, μόλις ἀπεκαλύφθησαν τά λείψανα ὑπό τῶν ἐργατῶν τοῦ Οἰκονόμου, τήν ἐπελθοῦσαν νύχτα, συλήσαντες τά θεῖα λείψανα ἀνεχώρησαν κρυφίως, εἰς Μωρέαν ( Πελοπόννησον). Ἀναζητηθέντες ὅμως δέν*

www.tezaurliturgic.ro


*ἀνευρέθησαν, λόγῳ καί τῆς τῶν Τουρκικῶν ἀρχῶν ἀδιαφορίας.*

*Μετά ταῦτα ὁ Οἰκονόμου μετέβη εἰς Κωνσταντινούπολιν, λαβών μεθ' ἑαυτοῦ καί τήν πλάκα, ἐπι τῆς ὁποίας ἦσαν κεχαραγμένα τά τῶν Ἁγίων Μαρτύρων ὀνόματα, καί ἀνέφερε τά γενόμενα εἰς τήν πόλιν τῶν Μεγάρων εἰς τόν τότε Πατριάρχην Κωνσταντινουπόλεως. Περί τοῦ πῶς εὑρέθησαν εἰς Μέγαρα οἱ Ἅγιοι δυνάμεθα νά συμπεράνωμεν δύο τινά: Ἤ ὅτι ὑπέστησαν οὗτοι βασάνους παρά Χριστιανομάχων εἰς τάς Σέρρας, καί ἐκδιωχθέντες ἐκεῖθεν κατέφυγον εἰς τήν πόλιν τῶν Μεγάρων, ἔνθα καί ἔλαβον μετά ταῦτα μαρτυρικόν τέλος, ἤ ὅτι ἐμαρτύρησαν ὑπηρετοῦντες ἐνταῦθα ὡς στρατιῶται. Ἐκ τῶν θείων αὐτῶν λειψάνων, τεμάχια τινα δακτύλων καί σπονδύλων, διεσώθησαν είς Μέγαρα, διότι τά ἄλλα ἐκλάπησαν, ὡς ἀνεφέρθη ἀνωτέρω.*

*Τά ὑπάρχοντα εἰς Μέγαρα θεῖα λείψανα διαφυλάσσονται ἐντος ἀργυρᾶς θήκης, κατασκευασθείσης κατά το 1900, ὑπό τῶν εὐσεβῶν ἀπογόνων τοῦ Οἰκονόμου.*

*Βραδύτερον ἀνηγέρθη καί Ναός ἐπ' ὀνόματι τῶν Ἁγίων Μαρτύρων, ὁ ὁποῖος κακῶς μετέπειτα ὠνομάσθη τῶν Ἁγίων Ἀναργύρων, λόγῳ τοῦ ὅτι ἐτέθη μία εἰκών τῶν Ἁγίων Ἀναργύρων ἐντός αὐτοῦ.*

*Πρέπει ὁ Μεγαρικός κόσμος νά τιμᾷ μέν τούς Ἁγίους Ἀναργύρους, ἀλλά νά γνωρίζει ὅτι ὁ Ναός τιμᾶται μόνο ἐπ' ὀνόματι τῶν Ἁγίων Μαρτύρων. Ὁ Ναός ᾠκοδομήθη κατά τό ἔτος 1907. Τά ἐγκαίνια ἐγένετο κατά τό ἔτος 1909 ὑπό τοῦ Μητροπολίτου Ἀθηνῶν Θεοκλήτου.*

*Πλεῖστα θαύματα ἐτέλεσαν οἱ Ἅγιοι, ἐκ τῶν ὁποίων ἐλάχιστα τινα γνωρίζομεν ἐκ παραδόσεως, καί ταῦτα ἐλλιπῆ, καί ὡς τούτου δέν ἀναφέρομεν οὐδέν ἐξ αὐτῶν. Τάς ἰάσεις πλουσίως παρεῖχον καί παρέχουν εἰς ὅσους προσφεύγουσι μετά πίστεως εἰς αὐτούς, πρός δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.*

-Ταῖς αὐτῶν πρεσβείαις Χριστέ ὁ Θεός ἐλέησον κασί σῶσον ἡμᾶς. Ἀμήν.

***Ὠδή ζ'. Οὐκ ἐλάτρευσαν.***

Ὑπό μόδιον, σιγῆς πάλαι κατέκειντο ὑμῶν τά λείψανα, ἀλλά προνοία Θεοῦ, τετράριθμοι Μάρτυρες, αὐτά ἐδόθησαν τοῖς κραυγάζουσιν˙ Ὁ τῶν Πατέρων Κύριος καί Θεός εὐλογητός εἶ.

www.tezaurliturgic.ro


Μαρτυρήσαντες, ὑπέρ τῆς θείας πίστεως, ἐνθέῳ ἔρωτι, Ἀδριανός ὁ στερρός, ὁμοῦ καί Πολύεκτος, Πλάτων Γεώργιος, ὁμοῦ ἔψαλλον˙ Ὁ τῶν Πατέρων Κύριος καί Θεός εὐλογητός εἶ.

Νέοι ὤφθητε, ἀστέρες θεῖοι Μάρτυρες, ὑστέροις ἔτεσι, τῇ Ἐκκλησίᾳ Χριστοῦ, ἡμῖν φανερώσαντες, ὑμῶν τά λείψανα, πρώην ἄγνωστα, καί ἀφανῆ τυγχάνοντα ὑπό γῆν κεκαλυμμένα.

Οἱ περίδοξοι τῶν Μεγαρέων πρόβολοι, ἀνευφημείσθωσαν, Ἀδριανός ὁ κλεινός, Πολύευκτος σήμερον, Πλάτων Γεώργιος, ὡς πρεσβεύοντες, διά παντός πρός Κύριον, οἰκτειρῆσαι πάντα κόσμον.

***Θεοτοκίον.***

Σκηνή ἔμψυχος, Χριστοῦ τοῦ Παντοκράτορος, ὤφθη κυήσασα, δίχα τροπῆς καί φυρμοῦ, αὐτόν ἔννοιαν, σώζοντα Πάναγνε, τούς κραυγάζοντας˙ χαίρε Ἁγνή Μητρόθεε, σωτηρίας παντός κόσμου.

***Δεύτερος. Θεοῦ συγκατάβασιν.***

Ἐκ γῆς ἀνεφάνησαν, ὑμῶν τά λείψανα θεῖοι Μάρτυρες,ὡς ἐπανεύοσμα κρίνα, ὀσμήν πᾶσι παρέχοντα, τῆς προμηθείας Χριστοῦ τοῦς κραυγάζουσιν˙ Εὐλογητός ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Λαμπτῆρες νεόφωτοι, ἐν τῇ Μεγάρων πόλει ὡράθητε, Ἀθλοφόροι Κυρίου, τῇ ἐπινεύσει τοῦ Παντοκράτορος, φωταγωγοῦντες τούς πίστει κραυγάζοντας˙ Εὐλογητός ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Παθῶν ἀπελαύνουσι, ψυχῆς καί σώματος ζόφον ἅπαντα, Ἀθλοφόροι Κυρίου, ὑμῶν τά λείψανα ὧν τήν εὕρεσιν ἀνευφημοῦντες Κυρίῳ κραυγάζομεν˙ Εὐλογητός ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

www.tezaurliturgic.ro


*Θεοτοκίον.*

Ὡς θρόνος πυρίμορφος, ἐν ταῖς ἀγκάλαις σου φέρεις Ἄχραντε, τόν τῶν ὅλων Δεσπότην, σωματωθέντα ἐκ τῶν αἱμάτων σου, ὅν ἐκδυσώπει σωθῆναι τούς ψάλλοντας· χαῖρε Παρθένε Ἁγνή, τοῦ κόσμου ἡ προσφυγή.

*Καταβασία: Σέ τόν ἐν πυρί.*

*Ὠδή η'. Παῖδας εὐαγεῖς.*

Γνωστοί τῷ Δεσπότη τῶν ἁπάντων, ἀθλήσαντες δι' αὐτόν ὄντως μακάριοι, πλείστοις ἡμῖν ἔτεσιν, ἀφανεῖς καί ἄγνωστοι, ὑπάρχοντες· ἐγνώσθητε ἀρτίως Μάρτυρες, ἡμῖν τῇ τῶν λειψάνων εὑρέσει, τοῖς ἀνευφημοῦσιν, ὑμῶν τάς ἀριστείας.

Ἔχει Μεγαρέων μέν ἡ πόλις, τετράριθμοι Ἀθλοφόροι ὑμᾶς χαίρουσα, θεῖα καλλωπίσματα, Μεγαρίς δέ ἅπασα, μεσίτας πρός τόν Κύριον καί ἀντιλήπτορας· διό καί εὐχαρίστως γεραίρει, ὑμῶν τούς ἀγῶνας, Χριστόν ὑπερυψοῦσα.

Ρώμη θεϊκῇ τοῦ μαρτυρίου, ἀνύσαντες τόν ἀγῶνα θεῖοι Μάρτυρες, τῆς ὑπέρ κατάληψιν, δόξης ἠξιώθητε, Ἀγγέλοις συγχορεύοντες καί ἀνακράζοντες· τόν Κύριον ὑμνεῖτε τά ἔργα καί ὑπερυψοῦτε, εἰς πάντας τούς αἰῶνας.

*Θεοτοκίον.*

Ἄκτιστος ὤν πρότερον ὁ Λόγος, ὡς σύνθρονος τοῦ Πατρός καί ὁμοούσιος, ὕστερον δι' ἔλεος, σάρκα ἐκ σοῦ εἴληφε, καί κτίσμα ἐχρημάτισεν, ὁ Ὑπερούσιος, καί ἄνθρωπος ἀτρέπτως ὡράθη, ἐκ σοῦ Θεοτόκε, ἀτρέπτως ὑπέρ λόγον.

*Δεύτερος. Ἑπταπλασίως κάμινον.*

Γνώμῃ μιᾷ ἠθλήσατε, καί Χριστόν ἐδοξάσατε, ἐν ἀδήλοις χρόνοις Μάρτυρες τετράριθμοι, ἀρτίως δέ γνώριμοι, πᾶσιν ἡμῖν γεγόνατε, ἐν τῇ ἀνευρέσει, τῶν σεπτῶν καί πανσέπτων, λειψάνων οἷς ἐν πίστει, προσπίπτοντες ὑμνοῦμεν, Χριστόν τόν ζωοδότην, εἰς πάντας τούς αἰῶνας.

www.tezaurliturgic.ro

Ἐνδεδυμένοι Ἅγιοι τόν Χριστόν διά πίστεως τόν ἐχθρόν αἰσχύνην ὄντως ἐνεδύσατε, ἀθλήσεως σκάμμασιν· Ἀδριανέ Πολύευκτε, Πλάτων ἀθλητά, σύν Γεωργίῳ βοῶντας· Οἱ Παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λάος ὑπερυψοῦτε Χριστόν εἰς τούς αἰῶνας.

Ρήσεσιν ἐφεπόμενοι, τοῦ Σωτῆρος μακάριοι, τόν Σταυρόν ἐπ' ὤμων τούτου ἐβαστάσατε, καί σύμμορφοι ὤφθητε, ἀθλητικοῖς παλαίσμασι, τῶν πάλαι ἁγίων, Ἀθλητῶν Ἀθλοφόροι, μεθ' ὧν καί ἐκβοᾶτε· ἱερεῖς ἀνυμνεῖτε, λάος ὑπερυψοῦτε Χριστόν εἰς τούς αἰῶνας.

***Θεοτοκίον.***

Ἀγγελικοί διάκοσμοι, καί Ἁγίων τά τάγματα, πρό τῆς ὑπέρ λόγων μεγαλοπρεπείας σου, ἐν θάμβει παρίστανται, Ὑπεραγία Δέσποινα· τόν Δημιουργόν γάρ, καί Θεόν τῶν ἁπάντων, τεκοῦσα ἀνωτέρα, ἀσυγκρίτως ἁπάντων, ἐδείχθης Θεοτόκε, Ὑπερδεδοξασμένη.

***Καταβασία: Ἀστέκτῳ πυρί.***

***Ὠδή θ΄. Ἅπας γηγενής.***

Στέφος εὐπρεπές, ἀξίως εἰλήφατε Ἅγιοι Μάρτυρες, παρά τοῦ Παντάνακτος, ὡς στρατιῶται αὐτοῦ ἀήττητοι, καί τῶν Μαρτύρων τάγμασι συνηριθμήθητε, ὡς ἐν ἄθλοις, τούτων ἰσοστάσιοι, καί Ἁγίων Ἀγγέλων συνόμιλοι.

Ἴσοι Ἀθλητῶν, τῶν πάλαι γενόμενοι ὡς ἀριστεύσαντες, ἐν ὑστέροις ἔτεσιν, ἐν τῷ σταδίῳ τῷ τῆς ἀθλήσεως, Ἀδριανέ Πολύευκτε, Πλάτων Γεώργιε, καί στεφάνων, τῶν αὐτῶν ἐτύχετε, ἐν σκηναῖς οὐρανῶν αὐλιζόμενοι.

Μνήμην τήν σεπτήν, ὑμῶν τῆς εὑρέσεως· πανηγυρίζοντες, τῶν λειψάνων Ἅγιοι, ἀγαλλιώμεθα θείῳ Πνεύματι, καί ἐξ αὐτῶν λαμβάνοντες χάριν καί ἔλεος, Ἀθλοφόροι τοῦ Χριστοῦ τετράριθμοι, τόν Σωτῆρα Χριστόν μεγαλύνομεν.

www.tezaurliturgic.ro


Ὅρμον τῆς ζωῆς, τῆς ἄνω ἐφθάσατε βίου τήν θάλασσαν, ἀκυμάντως πλεύσαντες, καί τῶν ἐπάθλων τῶν ὑπέρ ἔννοιαν, τρυφῶντες ἀξιάγαστοι Μεγαλομάρτυρες, τόν παρόντα, ὕμνον μου προσδέξασθε, καί πταισμάτων μοι λύσιν αἰτήσασθε.

*Θεοτοκίον.*

Ὕψιστον Θεόν, τεκοῦσα Πανάμωμε, τόν ἀπερίπτον, ἀνθρωπίνῳ σώματι, μή ὑποστάντα ροπήν καί σύγχυσιν, ἐκ τοῦ βυθοῦ με ὕψωσον τῆς ματαιότητος, πρός ἀγάπην, θείαν καί σωτήριον, τοῦ ἐκ σοῦ ὑπέρ φύσιν ἐκλάμψαντος.

*Δεύτερος. Ἔφριξε πᾶσα ἀκοή.*

Σύσκηνοι ἐν τοῖς οὐρανοῖς, τῶν ἀρχαίων Ἀθλοφόρων γενόμενοι, Ἅγιοι Μάρτυρες, ζωῆς τῷ ξύλῳ ἀποκατέστητε, καί καθορᾶτε τηλαυγῶς, Χριστοῦ τήν λαμπρότητα, θέσει θεούμενοι καί χαρᾶς τῆς ἀϊδίου πληρούμενοι.

Ἴαμα βλύζει ἡ σορός, τῶν λειψάνων ὑμῶν Ἅγιοι Μάρτυρες, τοῦ θείου Πνεύματος, ἀρδευομένη τῇ θείᾳ χάριτι, καί κατακλύζει χαλεπά, νοσήματα πάντοτε, ψυχῆς καί σώματος, τῶν ἐν πίστει προσιόντων ἑκάστοτε.

Μεγάρων θεῖοι ἀρωγοί, ἀνεδείχθητε τετράριθμοι Μάρτυρες, τῇ τῶν λειψάνων ὑμῶν, θείᾳ εὑρέσει· ὅθεν εὐφραίνονται, οἱ Μεγαρεῖς πνευματικῶς, καί πόθῳ γεραίρουσι, τήν θείαν μνήμην ὑμῶν, ἀνυμνοῦντες τά ὑμῶν προτερήματα.

Ὁλολαμπεῖς ὡς Ἀθληταί, τοῦ Σωτῆρος παναοίδιμοι Μάρτυρες, Πλάτων Πολύευκτε, Ἀδριανέ τε θεῖε Γεώργιε, παρεστηκότες ἐν χαρᾷ, αὐτόν ἱκετεύσατε, διδόναι ἄφεσιν, ἡμῖν πᾶσι καί εἰρήνη καί ἔλεος.

*Θεοτοκίον.*

Ὑπό παθῶν φθοροποιῶν, σκοτιζόμενος ὁ νοῦς μου Πανάμωμε, πρός τήν ἀπώλειαν, ἕλκει με Κόρη βίᾳ τοῦ χείρονος· ἀλλά σύ πρόφθασον ταχύ, καί ῥῦσαι με Δέσποινα, καθικετεύω σε, τῆς μανίας τοῦ δεινοῦ πολεμήτορος.

## Ἐξαποστειλάριον.

*Τῶν Μαθητῶν ὁρώντων σε.*

Τήν τετρακτήν ὑμνήσωμεν τῶν Μαρτύρων, τῶν ἐν Μεγάροις πάλαι μαρτυρησάντων· ἄρτι γάρ ἡμῖν ἐφανερώθησαν, καί θησαυρόν ἀσύλητον, ἡμῖν ἀνέδειξαν πᾶσι, σορόν αὐτῶν τήν ἁγίαν.

*Προεόρτιον, ὅμοιον.*

Ὁ Ποιητής τῶν ὅλων καθάπερ βρέφος, ὑπό Μητρός προσάγεται τῆς Παρθένου, τοῦ νόμου τῷ ναῷ καί δέχεται, ταῖς γηραιαῖς χερσίν αὐτοῦ, ὁ Συμεών ὁ πρεσβύτης, τοῦτον ὅν προσεδόκει.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

*Ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν τά ἑξῆς Προσόμοια:*

**Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.**

Τετρακτύν τήν ὑπέρτιμον, τῶν Μαρτύρων τιμήσωμεν, τούς πάλαι ἀθλήσαντας θείῳ ἔρωτι, ἐν τοῖς Μεγάροις στερρότατα, Ἀδριανόν καί Πλάτωνα, καί Πολύευκτον ὁμοῦ, καί τόν θεῖον Γεώργιον, καί λαμπρύναντας, τῶν λειψάνων αὐτῶν τῇ ἀναδείξει, Μεγαρέων τάς χορείας, μετά χρονίαν κατάκρυψιν.

Ὡς νομίμως ἀθλήσαντες, ἐν ἀδήλοις τοῖς ἔτεσιν, ἀφανεῖς καί ἄγνωστοι διεμείνατε, χρόνοις πολλοῖς θεῖοι Μάρτυρες, ἀλλ᾽ ἄρτι ἐγνώσθητε, προμηθείᾳ θεϊκῇ, καί τοῖς θείοις σοροῖς ὑμῶν, ὑπευφάνατε, Μεγαρέων τήν πόλιν εὐφημοῦσαν, τούς σεπτούς ὑμῶν ἀγῶνας, οὕς ἐν ἀθλήσει ἠνύσατε.

Τῷ Χριστῷ στρατευσάμενοι, διά πίστεως Ἅγιοι, τοῦ ἐχθροῦ καθείλετε τά στρατεύματα, Ἀδριανέ παναοίδιμε, καί Πλάτων μακάριε, καί Πολύευκτε κλεινέ, καί Γεώργιε ἔνδοξε, καί ἐδέξασθε, οὐρανόθεν τῆς νίκης τούς στεφάνους, ἱκετεύοντες ἀπαύστως, ὑπέρ ἡμῶν τόν Παντάνακτα.

Ὁμοφρόνως ἀθλήσαντες, καί Χριστόν μεγαλύναντες, μαρτυρίου σκάμμασιν, ἀξιάγαστοι, καί ὑπό γῆν πολλοῖς

www.tezaurliturgic.ro


ἔτεσιν, ὄντες κατακείμενοι, προμηθείᾳ θεϊκῇ, ἡμῖν ἄρτι ἐγνώσθητε, καί εὐφράνατε, Μεγαρέων τήν πόλιν, τῇ εὑρέσει, τῶν σεπτῶν λειψάνων, Μεγαλομάρτυρες ἔνδοξοι.

**Δόξα. Ἦχος πλ.α΄.**

Τῇ τῶν Μαρτύρων πανηγύρει, πνευματικῶς ἑορτάσωμεν, φιλομαρτύρων οἱ δῆμοι˙ ἰδού γάρ ὡς ἐξ ἀδύτων ἡμῖν ἐπέφαναν. ἐκ τῶν ταμείων τῆς γῆς φανερωθέντες, οἱ τοῦ Χριστοῦ Ἀθληταί, Ἀδριανός καί Πολύευκτος, καί Πλάτων καί Γεώργιος, καί πάντας συγκαλοῦσι, πρός μυστικήν εὐφροσύνην, τῶν ἱερῶν αὐτῶν καμάτων˙ αὐτοῖς οὖν βοήσωμεν˙ τετράριθμοι Μάρτυρες, Μεγαρέων καλλωπίσματα, μή παύσατε πρεσβεύοντες, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

**Καί νῦν. Ὁ αὐτός.**

Ὁ παλαιός ἡμερῶν, νηπιάσας σαρκί, ὑπό Μητρός Παρθένου τῷ ἱερῷ προσάγεται, τοῦ οἰκείου νόμου πληρῶν τό ἐπάγγελμα˙ ὅν Συμεών δεξάμενος ἔλεγε˙ Νῦν ἀπόλυεις ἐν εἰρήνη, κατά τό ρῆμα σου τόν δοῦλον σου˙ εἶδον γάρ οἱ ὀφθαλμοί μου τό σωτήριον σου Κύριε.

## ΔΟΞΟΛΟΓΙΑ ΜΕΓΑΛΗ ΚΑΙ ΑΠΟΛΥCΙC

## ΕΙC ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τά συνήθη. Ἀπόστολον ζήτει τῇ ιε΄ . Κυριακῇ: *Ἀδελφοί,ὁ Θεός ὁ εἰπών...*
*Εὐαγγέλιον τό τοῦ Ἁγίου Γεωργίου.*
*Κοινωνικόν: Εἰς μνημόσυνον....*

**Μεγαλυνάριον**

Χαίροις τῶν Μαρτύρων τετράς σεπτή, Ἀδριανέ Πλάτων καί Πολύευκτε οἱ κλεινοί, σύν τῷ Γεωργίῳ, Μεγάρων θεῖον γέρας, καί πρός Χριστόν μεσῖται, καί ἀντιλήπτορες.

Δίστιχον.

*Τετράριθμοι Μάρτυρες οἱ τῶν Μεγάρων*
*Γερασίμου δέξασθε τήν ὑμνῳδίαν.*